UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Theodosio Episcopo. 127.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Caupones tui vinũ aquæ admiscẽt. Quanquam enim quibusdã videatur hoc de iis, qui vinum (vt iuxta vocabuli sensum accipitur) dictum esse (nam illud quoque absurdum ac sceleratũ est:) tamen disceptante veritate, de iis potiùs, qui diuina oracula cauponum in morem adulterant, intelligendum esse arbitror. Non enim dictum est, Caupones tui aquam vino admiscent (quod facere cõsueuerunt, qui cauponam exercent) sed, vinum aquæ. Siquidem puros ac limpidos scripturę sacræ sensus euanidis suis dogmatibus admiscentes, doctrinam adulterant.

ἐστι, τὸ οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. εἰ γὰρ καὶ δοκεῖ τισι περὶ τῶν καπηλευόντων τὸν ἐκ τῆς προχείρου νοούμενον οἶνον λελέχθαι. ἄτοπον γὰρ κἀκεῖνο ἀλλά γε ἀληθείας δικαζούσης, μᾶλλον περὶ τῶν καπηλευόντων τὰ θεῖα λόγια δοκεῖ μοι εἰρῆσθαι. οὐ γὰρ ἐρρέθη οἱ κάπηλοί σου μίσγουσιν ὕδωρ οἴνῳ, ὅπερ ποιεῖν εἰώθασιν οἱ καπηλεύοντες. ἀλλὰ τὸν οἶνον ὕδατι. τὰς γὰρ ἀκραιφνεῖς καὶ εἰλικρινεῖς τῆς ἱερᾶς γραφῆς ἐννοίας τοῖς ἐξιτήλοις ἑαυτῶν παρακιρνῶντες δόγμασι νοθεύουσι τὴν διδασκαλίαν.

### *Ammonio.* 126.

Mundo sublimiorum ac terrenorũ rex è cælo idcirco venit, vt cælestis vitæ symbola nobis afferret: quæ etiam in certamẽ proposuit, olympico certamini prorsus aduersum. Illic enim qui cædit, ac superat, coronam obtinet: hîc autem qui cæditur, ac perfert, præconis voce celebratur. Illic qui vicissim ferit, hîc qui alteram quoque maxillam præbet, in Angelorum theatro prædicatur. Non ẽnim vltione, sed patientia victoria ponderatur. Noua enim hæc coronatum lex est: quoniam noua quoque certaminum ratio.

### Ἀμμωνίῳ. ρκϛ.

Ὁ τῶν ὑπερκοσμίων καὶ τῶν ἐπιγείων βασιλεὺς ἥκει οὐρανόθεν, οὐρανίου πολιτείας φέρων ὑμῖν σύμβολα, ἃ καὶ ἀγῶνα προὔθηκεν ἐναντίον τῷ ὀλυμπικῷ. ἐκεῖ μὲν γὰρ ὁ τύπτων καὶ περιγενόμενος στεφανοῦται. ἐνταῦθα δὲ ὁ τυπτόμενος καὶ φέρων, ἀναρρήσεως ἀξιοῦται. ἐκεῖ ὁ ἀντιπλήττων, ἐνταῦθα δὲ ὁ καὶ τὴν ἄλλην παρέχων σιαγόνα, ἐν τῷ τῶν ἀγγέλων θεάτρῳ ἀνακηρύττεται. οὐ γὰρ ἐν τῷ ἀμύνασθαι, ἀλλ' ἐν τῷ φιλοσοφεῖν ἡ νίκη κρίνεται. καινὸς γὰρ οὗτος τῶν στεφάνων ὁ νόμος. ἐπειδὴ καινὸς τῶν παλαισμάτων ὁ τρόπος.

### *Theodosio Episcopo.* 127.

Quòd sacerdotium regno præstantius sit, maiorésque labores habeat (nam cùm labor vnus desinit, alter vicissim exoritur) ac de rebus magis necessariis periclitetur (illud enim diuina, hoc terrena moderanda & administranda suscepit) neminem ignorare arbitror. Quòd autem permulti, cuiuslibet hominis esse, aut animis, aut corporibus imperare, incõsideratè ac stolidè iudicãtes, seipsos proiecerũt, ac perditis subditis ipsi tandem in exitij voraginem cum dedecore atque infamia præcipites acti sunt, ne hoc quidem cuiquam obscurũ & incognitũ esse existimo. Cùm

### Θεοδοσίῳ ἐπισκόπῳ. ρκζ.

Ὅτι μὲν βασιλείας ἡ ἱερωσύνη πολλῷ κρείττων ἐστὶ, καὶ μείζους ἔχει πόνους. πόνῳ γὰρ λήγοντι πόνος νέος ἀντανατέλλει. καὶ περὶ τῶν ἀναγκαιοτέρων ὁ κίνδυνος. ἡ μὲν γὰρ τὰ θεῖα, ἡ δὲ τὰ θνητὰ ἐμπεπίστευται, οἶμαι μηδένα ἀγνοεῖν. ὅτι δὲ πολλοὶ ἀπερισκέπτως παντὸς ἀνδρὸς τὸ ἄρχειν ἢ ψυχῶν, ἢ σωμάτων νομίσαντες ἔρριψαν εἰς τοῦτο καὶ μυρίων κακῶν καὶ ἑαυτοὺς καὶ τοὺς ὑπηκόους ἐμπλήσαντες, ὕστερον εἰς βάραθρον ἀπωλείας δυσκλεῶς κατήντησαν, οὐδὲ τοῦτ' οἶμαί τινα ἀγνοεῖν. τούτων τοίνυν οὕτω τυγχανόντων, λίαν

θαυμάζω

θαυμάζω πῶς τινὲς μηδ' αὐτὸ τοῦτο τὰ καθ' ἑαυτοὺς εὖ διαθέμενοι, ἀλλὰ πολλῶν γέμοντες πραγμάτων, καὶ μηδὲ ἐν τοῖς ὑπηκόοις τετάχθαι ὀφείλοντες, ὧν εἷς ἐστι καὶ Ζώσιμος ὁ πρεσβύτερος, οὕτω βίῳ ὡς φής, σκανδαλίζων, γέγραφας, τῇ ἱερωσύνῃ τῇ τοσοῦτον τῆς βασιλείας ὑψηλοτέρᾳ ἐπιπηδῆσαι ἐτόλμησαν, καὶ χρήμασιν ὠνήσασθαι πρᾶγμα, ὃ μηδὲ μετὰ πολλῶν χρημάτων καταδέξασθαι ἐχρῆν τοιούτους ὄντας. ἀλλ' ἴσως τὰ καθ' ἑαυτοὺς ἀγνοοῦντες, καὶ μηδὲ τῷ καλῶς παρὰ τῶν ἔξωθεν εἰρημένῳ ἀκολουθήσαντες, τῷ γνῶθι σεαυτόν. ἀγνοοῦντες δὲ καὶ τὴν τῆς ἱερωσύνης ἀξίαν, ὅτι πρὸς τὸ ὕψος καὶ τὸν κίνδυνον ἔχει, νομίζοντες ἀρχὴν εἶναι ἀνεξέταστον, ἀλλ' οὐ λειτουργίαν ὑπεύθυνον, ἐνεχείρησαν πράγματι ἀβάτῳ αὐτοῖς εἶναι ὀφείλοντι.

igitur hæc ita ſint, magnopere miror, quonam pacto nonnulli, qui cùm ne hoc quidem ipſum præſtiterunt, vt rebus ſuis rectè conſulerent, verùm multis peccatis ſcateant, ac ne in ſubditorum quidem claſſe collocari debeant (quo in numero Presbyter quoque Zoſimus eſt, cuius vita & moribus offenſus ad me ſcripſiſti) tamen ad ſacerdotium, quod regno vſqueadeò ſublimius eſt, proſilire, ac rem, quã ne cum multis quidem pecuniis, cùm tales eſſent, accipere oportebat, pecunia emere minimè dubitarint. Verũ fortaſſe ipſi ſe ſuamq́; vitam ignorantes, ac ne huic quidẽ, quod rectè ab externis hominibus dictum eſt, Noſce teipſum, obtemperantes, atque etiã ſacerdotij dignitatem minimè agnoſcẽtes (nempe quod magnitudini ſuæ par periculũ habeat) illúdque exiſtimantes, ſacerdotium imperium quoddam eſſe ab omni cenſura immune, non autem prouinciam reddendis rationibus obnoxiam, negotiũ huiuſmodi aggreſſi ſunt, ad quod ipſis nullum aditum patere oportebat.

Ἰσιδώρῳ διακόνῳ. ρκη.

Εἰ καὶ μὴ ἀξίαν, ὧν εἰς τὸν δεσπότην Χριστὸν ἔδρασαν, ἔδοσαν ἐνταῦθα δίκην Ἰουδαῖοι, ἔδοσαν γοῦν ὅμως. ἃ γὰρ ὡς διαφευξόμενοι ἔδρασαν, φήσαντες, Ἐὰν ἀφῶμεν αὐτόν, ἐλεύσονται οἱ ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος, ταῦτ' ἐπειδὴ ἔπραξαν, οὐ διέφυγον. τῆς γὰρ πόλεως αὐτῶν ἁλώσης ὑπὸ ῥωμαίων, καὶ τοῦ ναοῦ καθαιρεθέντος, αὐτοὶ ὥσπερ μαστιγίαι τινὲς καὶ δραπέται, ἄτιμοί τε καὶ ἀλῆται πανταχοῦ διεσπάρησαν. δώσουσι δὲ κἀκεῖσε τὴν ἀξίαν. μὴ ἐπιγνόντες γὰρ τὴν φιλανθρωπίαν, εἴσονται τὴν ἐξουσίαν, ἧς κἀνταῦθα πεῖραν βραχεῖαν εἰλήφασι.

*Iſidoro Diacono.* 128.

Etſi Iudæi, pro his, quæ aduerſus Dominum Chriſtum perpetrarunt, haud ſatis dignas hic pœnas dederunt: at tamen dederunt. Nam ea, quorum fugiendorum cauſa ea perpetrarant (dicentes, Si dimittimus eum, venient Romani, & tollent locum noſtrum, & ciuitatem & gentem) ea inquam, poſteaquàm hæc deſignarunt, haudquaquam effugerunt. Ipſorum enim vrbe à Romanis capta templóque euerſo ac deleto, ipſi velut verberones quidam ſerui & fugitiui atque errones, paſſim toto orbe diſperſi ſunt. Atque etiam in futura vita meritas pœnas dabunt. Nam quia benignitatem minimè agnouerunt, potentiam cognoſcent, quam hîc quoque nonnulla ex parte deguſtarunt.

Τῷ αὐτῷ. ρκθ.

Τὴν ὑπὸ λύπης βεβαπτισμένην ψυχὴν οὐδὲν οὕτω εὐφρᾶναι δύναται,

*Eidem.* 129.

Animum mœrore oppreſſum & profligatum nihil perinde oblectare poteſt, vt